# TEZAUR LITURGIC

## 15 SEPTEMBRIE

## GHERASIM MIKRAGHIANANITUL

# SLUJBA SF.IERARH SIMEON, ARHIEPISCOPUL TESALONICULUI

TESALONIC,1981


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# 15 Σεπτεμβρίου Ἀκολουθία Ἁγίων ΣΥΜΕΩΝ, ἀρχιεπ. Θεσσαλονίκης

## Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν στίχους δ΄ καί ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος α΄. Τῶν οὐρανίων Ταγμάτων.

Ἀπό νεότητος Πάτερ, σαὐτόν ἀνέθηκας, Χριστῷ τῷ Ζωοδότῃ, ὁλικῇ διαθέσει, ἁπάντων ἀλογήσας τῶν γεηρῶν, καί δοχεῖον ὑπέρτιμον, τοῦ Παρακλήτου γεγένησαι Συμεών, διά βίου τελειότητος.

Ἱερωσύνης τήν χλαῖναν, ἀμφισάμενος, Ἀρχιερεύς θεόφρον, καί σοφός Ποιμενάρχης, τῆς Θεσσαλνικέων θείᾳ βουλῇ, Ἐκκλησίας γενόμενος, τῶν ὀρθοδόξων δογμάτων μυσταγωγεῖς, Συμέων Πάτερ τήν ἔλλαμψιν.

Τῆς ταπεινώσεως τρόποις, Πάτερ ὑψούμενος, τῷ σῷ ποιμνίῳ τύπος, ἀρετῶν ἀνεδείχθης, σοφίᾳ διαπρέπων τῇ θεϊκῇ, καί ζωῆς καθαρότητι, καί διδαχαῖς θεοσόφοις ὡς τοῦ Χριστοῦ, Συμέων θεράπων γνήσιος.

Λόγῳ σοφῷ διαλάμπων, Ἁγίῳ Πνεύματι, διδάσκαλος ἐδείχθης, καί σεπτός ὑποφήτης, Χριστοῦ τῆς Ἐκκλησίας ὡς ἀληθῶς, Συεμών ἱερώτατε, πάντας

παιδεύων πρός γνῶσιν τήν ἀληθῆ, μυστηρίων τῶν τῆς χάριτος.

Δόξα. Ἦχος β΄.

Τῶν ἀρετῶν τῇ ἐλλάμψει, καταλαμπρύνας τήν ζωήν, νυμφαγωγός θεῖος ὤφθης, καί παιδευτής ἱερός, τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, Συμεών Πάτερ Ὅσιε· ἡ γάρ χάρις τοῦ Πνεῦματος, διά σοῦ ἡμῖν φθέγγεται, πῶς δεῖ ἀναστρέφεσθαι, τούς λελυτρωμένους τῷ θείῳ Αἵματι· διό εὐγνωμόνως γεραίρομεν, τήν ἁγίαν μνήμην σου, καί διά σοῦ αἰτούμεθα, παρά Θεοῦ τό θεῖον ἔλεος.

Καί νῦν. Τῆς Ἑορτῆς. Ὁ αὐτός.

Σύ μου σκέπη κραταιά ὑπάρχεις, ὁ τριμερής Σταυρός τοῦ Χριστοῦ· ἁγίασόν με τῇ δυνάμει σου, ἵνα πίστει καί πόθῳ, προσκυνῶ καί δοξάζω σε.

Εἰς τόν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Εὐφραθᾶ.

Βίῳ πνευματικῷ, καί διδαχαῖς ἁγίαις, ἐμπρέπων Ἱεράρχα, τῆς ταπεινοφροσύνης, ἐδείχθης ἐνδιαίτημα.

Στ. *Τό στόμα μου λαλήσει σοφίαν καί ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.*

Ῥήτωρ θεοειδής, τῶν θείων μυστηρίων, γενόμενος ἐκφαίνεις, τήν κεκρυμμένην τούτων, ὦ Συμεών λαμπρότητα.

Στ. *Οἱ Ἱερεῖς Σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καί οἱ Ὅσιοί Σου ἀγαλλιάσονται.*

Στόματι ἱερῷ, τούς εὐσεβεῖς παιδεύεις, προς κτῆσιν τῶν ἀρίστων, ὡς θεῖος μυστολέκτης, ὦ Συμέων Πατήρ ἡμῶν.

Δόξα. Τριαδικόν.

Μίαν Σε ἐν τρισίν, οὐσίαν χαρακτῆρσι, μυσταγωγεῖ ἐνθώς, ὁ Συμεών ὁ θεῖος, Τριάς πανυπερούσιε.

Καί νῦν. Θεοτοκίον.

Μόνην Σε τόν Θεόν, σωματικῶς τεκοῦσαν, καί μείνασαν παρθένον, ἐν ᾄσμασι κηρύττει, ὁ Συμεών Πανάχραντε.

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Ποιμήν Θεσσαλονίκης ἀνεδείχθης ἐν Πνεύματι, καί θεῖος ὑποφήτης μυστηρίων τῆς χάριτος, σοφίᾳ καί φωτί τῶν ἀρετῶν, ἐκλάμπων Ἱεράρχα Συμεών· διά τοῦτο ὥσπερ θεῖον μυσταγωγόν, τιμῶμεν σε κραυγάζοντες· δόξα τῷ σέ δοξάσαντι Χριστῷ, δόξα τῷ σέ στεφανώσαντι, δόξα τῷ χορηγοῦντι διά σοῦ, χάριν ἡμῖν καί ἔλεος.

Καί τῆς Ἑορτῆς.Ἀπόλυσις.

# ΕΝ ΤΩ͂ ΜΕΓΑΛΩ͂ ΕΣΠΕΡΙΝΩ͂

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ Προοιμιακός καί τό Μακάριος ἀνήρ. Εἰς δέ τό Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στˊ καί ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος δˊ. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ὡς τῆς χάριτος σκήνωμα, δι᾽ ἀγώνων ἀσκήσεως, τήν καρδίαν Ὅσιε ἐργασάμενος, τοῦ θείου Πνεύματος ὄργανον, καί σκεῦος πολύτιμον, ἀρετῶν παντοδαπῶν, Συμεών ἐχρημάτισας, καί τῇ ἄνωθεν, προμηθείᾳ σοφός Ἀρχιεράρχης, Ἐκκλησίας ἀνεδείχθης, καί μυστογράφος θεόληπτος.

Ταπεινώσεως κλίμακι, Ἱεράρχα χρησάμενος, ἀρετῶν ἀνέδραμες εἰς ἀκρώρειαν, καί φωτισθείς θείῳ Πνεύματι, δογμάτων τῆς Πίστεως, καί θεσμῶν τῶν ἱερῶν, καί σεπτῶν παραδόσεων, τήν ἀκρίβειαν, θεοῤῥήμονι γλώσσῃ ἀναπτύσσεις, Συμεών Πνευματοφόρε, Ὀρθοδοξίας διδάσκαλε.

Τῶν Πατέρων τοῖς ἴχνεσιν, ἀκλινῶς ἐφεπόμενος, Ἱεράρχης ὅσιος ἀναδέδειξαι, Θεσσαλονίκης δέ Πρόεδρος, Συμεών μακάριε, καί Ποιμήν ἀληθινός, Ἐκκλησίας ἁπάσης δέ, στόμε ἔνθεον, καί σοφός ὁδηγός ἐπί τά κρείττω, θεοφθόγοις ὑποθήκαις, καί ἱεραῖς παραινέσεσι.

Ἕτερα. Ἦχος β΄. Ποίοις εὐφημιῶν.

Ποίοις εὐφημιῶν στάμμασιν, ἀναδήσωμεν τόν Ἱεράρχην; Τό τοῦ Παρακλήτου κειμήλιον, καί τῶν ἀρετῶν ἐνδιαίτημα; Τῆς Ὀρθοδοξίας τόν φωστῆρα· Ποιμένα, Θεσσαλονίκης τόν θεόκριτον· τόν βίῳ, καί λόγῳ θείῳ διαλάμποντα· τήν θεοῤῥήμονα γλῶσσαν, τήν καθοδηγοῦσαν, καί παιδεύουσαν εὐσεβῶς, πρός βίον ὑπέρτερον, τῶν πιστῶν ἅπαν τό πλήρωμα.

Ποίοις ᾀσματικοῖς μέλεσιν, ἀνυμνήσωμεν τόν Ἱεράρχην; Τόν δυνάμει λόγου καί χάριτος, τά ἐν Ἐκκλησίᾳ τελούμενα, γλώσσῃ ἑρμηνεύοντα ἁγίᾳ, καί πάντας, ἀπό τοῦ γράμματος μετάγοντα, πρός γνῶσιν, τελειοτέραν τήν τοῦ Πνεύματος· τῆς Ἐκκλησίας τόν λύχνον, Συμεών τόν θεῖον, τόν τήν πλάνην τῶν δυσσεβῶν, αἱρέσεων τρέποντα, διδαχῶν θείων λαμπρότητι.

Ποίοις, οἱ εὐσεβεῖς χείλεσιν, εὐφημήσωμεν τόν Ἱεράρχην; Θεσσαλονικέων τό καύχημα, καί τῶν Ὀρθοδόξων τό στήριγμα, Συμεών τόν θεῖον Ἀρχιθύτην· τόν πύργον, τῆς ταπεινώσεως τόν ἄρρηκτον· τῶν πάλαι, θείων Πατέρων τόν ἐφάμιλλον· τόν τῆς σοφίας κρατῆρα, τόν ἡμῖν κιρνῶντα, εὐσεβείας τόν γλυκασμόν, καί πᾶσιν αἰτούμενον, ἱλασμόν καί μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. β΄.

Τῶν ἀρετῶν τούς καρπούς, τῇ καταλλήλῳ ζωῇ γεωργήσας, ἱερωσύνης ἐκληρώσω τό ἔνδυμα, παρά Χριστοῦ τοῦ Θεοῦ, Συμεών Πάτερ Ὅσιε· ἐν ὁσιότητι γάρ καί ἀληθείᾳ κεκοσμημένος, Ἱεράρχης ἔνθος ὤφθης, και τοῦ Εὐαγγελίου τόν λόγον, πράξει ἱερουργῶν, τῶν ἀρρήτων μυσταγωγός πέφυνας, καί τῆς Ἐκκλησίας θεῖος νυμφοστόλος. Ὅθεν Θεσσαλονικέων οἱ δῆμοι, ὁ σός περιούσιος λαός, τῇ τῶν λειψανων σου θήκῃ παριστάμενος, εὐλαβῶς βοᾷ σοι· Ποιμήν ἡμῶν ἱερέ, μή παύσῃ πρεσβεύων Κυρίῳ, ὑπέρ ἡμῶν τῶν τελούντων, τήν ἁγίαν μνήμην σου.

Καί νῦν. Τῆς Ἑορτῆς. Ὁ αὐτός.

Σήμερον προέρχεται ὁ Σταυρός τοῦ Κυρίου,...

Εἴσοδος, Φῶς ἱλαρόν, Προκείμενον τῆς ἡμέρας, Ἀναγνώσματα.

Παροιμιῶν τὸ Ἀνάγνωσμα (Κεφ. ι΄ 6-7,γ΄13 - 16).

Μνήμη δικαίου μετ᾽ ἐγκωμίων καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν καὶ θνητὸς ὃς οἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν· πᾶν δὲ τίμιον, οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ

τέκνα· σεμνὰ γὰρ ἐρῶ καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλήν καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν· σεμνὰ γὰρ ἐρῶ καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῶν. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν καὶ πλησθήσεσθε Πνεύματος.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. ι΄ 32, ἐκλογή).

Στόμα δικαίου ἀποστάζει σοφίαν, χείλη δὲ ἀνδρῶν ἐπίστανται χάριτας· στόμα σοφῶν μελετᾷ σοφίαν, δικαιοσύνη δὲ ῥύεται αὐτοὺς ἐκ θανάτου. Τελευτήσαντος ἀνδρός δικαίου οὐκ ὄλλυται ἐλπίς· υἱὸς γὰρ δίκαιος γεννᾶται εἰς ζωήν καὶ ἐν ἀγαθοῖς αὐτοῦ καρπὸν δικαιοσύνης τρυγήσει. Φῶς δικαίοις διαπαντός καὶ παρὰ Κυρίου εὑρήσουσι χάριν καὶ

δόξαν. Γλῶσσα σοφῶν καλὰ ἐπίσταται καὶ ἐν καρδίᾳ αὐτῶν ἀναπαύσεται σοφία. Ἀγαπᾷ Κύριος ὁσίας καρδίας, δεκτοὶ δὲ Αὐτῷ πάντες ἄμωμοι ἐν ὁδῷ. Σοφία Κυρίου φωτιεῖ πρόσωπον συνετοῦ· φθάνει γὰρ τοὺς ἐπιθυμοῦντας αὐτήν· πρὸ τοῦ γνωσθῆναι, καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτήν. Ὁ ὀρθρίσας πρὸς αὐτὴν οὐ κοπιάσει καὶ ὁ ἀγρυπνήσας δι᾽ αὐτήν, ταχέως ἀμέριμνος ἔσται. Ὅτι τοὺς ἀξίους αὐτῆς αὐτὴ περιέρχεται ζητοῦσα καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς. Σοφίας οὐ κατισχύσει ποτὲ κακία. Διὰ ταῦτα καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς καὶ ἐφίλησα ταύτην καὶ ἐξεζήτησα ἐκ νεότητός μου καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ. Ὅτι ὁ πάντων Δεσπότης ἠγάπησεν αὐτήν. Μύστης γὰρ ἐστι τῆς τοῦ Θεοῦ ἐπιστήμης καὶ αἱρέτις τῶν ἔργων Αὐτοῦ. Οἱ πόνοι αὐτῆς εἰσὶν ἀρεταί· σωφροσύνην δὲ καὶ φρόνησιν αὕτη διδάσκει, δικαιοσύνην καὶ ἀνδρείαν, ὧν χρησιμώτερον οὐδέν ἐστιν ἐν βίῳ ἀνθρώποις. Εἰ καὶ πολυπειρίαν ποθεῖ τις, οἶδε τὰ ἀρχαῖα καὶ τὰ μέλλοντα εἰκάζειν, ἐπίσταται στροφὰς λόγων καὶ λύσεις αἰνιγμάτων, σημεῖα καὶ τέρατα προγινώσκει καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων καὶ πᾶσι σύμβουλός ἐστιν ἀγαθή. Ὅτι ἀθανασία ἐστὶν ἐν αὐτῇ καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγῳ αὐτῆς. Διὰ τοῦτο ἐνέτυχον τῷ Κυρίῳ καὶ ἐδεήθην Αὐτοῦ καὶ εἶπον ἐξ ὅλης μου τῆς καρδίας. Θεὲ Πατέρων, καὶ Κύριε τοῦ ἐλέους, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ Σου, καὶ τῇ σοφίᾳ Σου κατασκευάσας τὸν ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπὸ Σοῦ γενομένων

κτισμάτων καὶ διέπῃ τὸν κόσμον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, δός μοι τὴν τῶν Σῶν θρόνων πάρεδρον σοφίαν καὶ μὴ με ἀποδοκιμάσῃς ἐκ παίδων Σου, ὅτι ἐγὼ δοῦλος Σός καὶ υἱὸς τῆς παιδίσκης Σου. Ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίου κατοικητηρίου Σου καὶ ἀπὸ θρόνου δόξης Σου, ἵνα συμπαροῦσά μοι διδάξῃ με, τὶ εὐάρεστόν ἐστι παρὰ Σοί. Καὶ ὁδηγήσῃ με ἐν γνώσει καὶ φυλάξῃ με ἐν τῇ δόξῃ αὐτῆς. Λογισμοὶ γὰρ θνητῶν πάντες δειλοὶ καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. ζ' 7-15).

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις Αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς Αὐτοῦ.

Εἰς τήν Λιτήν, Ἰδιόμελα.

Ἦχος α΄.

Τῆς Σοφίας τοῦ Θεοῦ, σκεῦος εὔχρηστον γενόμενος, ἐν ἐκκλησίᾳ πολλῇ λελάληκας, σωτηρίας διδάγματα, Συμεών Ἱεράρχα μακάριε· καί τῶν ψυχῶν τάς ἀρούρας, τῷ λόγῳ καθαίρων, τῆς αἰωνίου ζωῆς τάς χάριτας, ἐν αὐταῖς ἐθησαύρισας· βίῳ γάρ ἐκφαίνων, τῆς εὐσεβείας τήν λαμπρότητα, ἀσφαλῶς καθοδηγεῖς, τῷ θείῳ θελήματι, τούς τῷ Σωτῆρι βοῶντας· Κύριε, δόξα Σοι.

Ἦχος β΄.

Τῶν ἀρετῶν ταῖς ἰδέαις διαλάμπων, θεολήπτῳ φρο νήματι, τῆς ἀπαθείας ἐταμιεύσω τόν πλοῦτον, Συμεών ἱερώτατε· καί τῇ ἄνωθεν ῥοπῇ ἐκλελεγμένος, Ἱεράρχη ς ὅσιος καί ἄκακος, τῆς Ἐκκλησίας ὤφθης, ὡς Θεοῦ θ εράπων γνησιώτατος, καί Ἀποστόλων ζηλωτής· καί κα λῶς διαγαγών, τήν δοθεῖσαν σοι ἐξουσίαν, εὐαγγελικῶ ς τό σόν τάλαντον ηὔξησας, καί τῆς χαρᾶς τοῦ Κυρίου , ἐπαξίως μετέσχες· αὐτῆς καί ἡμεῖς τύχοιμεν, θεοδέκ τοις λιταῖς σου, Πάτερ ἁγιώτατε.

Ἦχος γ΄.

Τῇ ταπεινώσει ὑψούμενος, Ὀρθοδοξίας τό ὕψος ἐκφαίνεις, τῷ λόγῳ τῆς χάριτος, Ἱεράρχα Συμεών θεόσοφε· καί τῶν θείων δογμάτων μυσταγωγῶν τό κάλλος, μυστογράφος ἐνθεώτατος, τῇ ἐπιπνοίᾳ τοῦ

Πνεύματος, ὡς καθαρός τῇ καρδίᾳ, ἀνεδείχθης ἡμῖν Ὅσιε· ταῖς σοφαῖς γάρ ὑποθήκαις σου, πρός γνῶσιν θείαν ἀναγόμεθα, καί ἐναρέτου ζωῆς τάς ἀναβάσεις μυούμεθα· οἰκονόμος γάρ ψυχῶν, καί παιδευτής θεοειδής πέφηνας, τοῖς εὐλαβῶς ἐγκύπτουσι, τῇ δέλτῳ τῶν λόγων σου.

Ἦχος δ΄.

Πρακτικῆς πολιτείας συγκομίζων τόν καρπόν, θεϊκῆς ἐπιπνοίας εἰσεδέξω τήν ἔλλαμψιν, ὡς καθαγνίσας τόν νοῦν, συντόνῳ σπουδῇ· καί ἀγγελικῶς Θεῷ ἱερατεύσας, ἀποστολικῶν προτερημάτων τύπος ὤφθης, Συμεών Ἱεράρχα Ὅσιε· ὅθεν τήν σήν ἱερουργίαν, ὁ Χριστός προσδεξάμενος, τῆς αἰωνίου δόξης σέ ἠξίωσεν, ἀφθαρσίας παρέχων σοι τόν στέφανον, ἀπαύστως προσβεύοντα ὑπέρ τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ὁ αὐτός.

Τόν ἐν Ἱεράρχαις διδάσκαλον, καί ἐν Ὁσίοις θεράποντα Χριστοῦ, Συμεών τόν θεῖον Ἱεράρχην, τόν τῆς Θεσσαλονικέων Ἐκκλησίας φωστῆρα φαεινόν, τῶν Ὀρθοδόξων τά συστήματα, ὕμνοις καί ᾠδαῖς εὐφημήσωμεν· βίῳ γάρ καί λόγῳ ἐμπρέψας, καί τούς υἱούς τῆς Ἐκκλησίας θεοσόφως διδάξας, τῶν καμάτων τά γέρα παρά Χριστοῦ ἐδέξατο, ὡς ἄξιος ἐργάτης τοῦ μυστικοῦ Ἀμπελῶνος, καί πρεσβεύει ἐκτενῶς, δίδοσθαι ἡμῖν πταισμάτων λύσιν, καί τό θεῖον ἔλεος.

Καί νῦν. Τῆς Ἑορτῆς. Ὁ αὐτός.

Τοῦ Τιμίου Σταυροῦ Χριστέ τήν ἐνέργειαν,…

Εἰς τόν Στίχον. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις, ὁ ἱερός Συμέων, Θεσσαλονίκης ὁ Ποιμήν ὁ θεόσοφος, καί πάσης τῆς Ἐκκλησίας, ὑφηγητής ἱερός, ὁ τῶν μυστηρίων τήν λαμπρότητα, σοφῶς ἐξηγούμενος, θεοῤῥήμονι γλώσσῃ σου, καί ἀναπτύσσων, ἐπιπνοίᾳ τῇ ἄνωθεν, τήν ὑπάρχουσαν, ἐν αὐτοῖς χάριν ἄφθονον· λύχνος ὁ φαεινότατος, δογμάτων τῆς πίστεως, καί παραδόσεων θείων, βίβλος σοφίας ἀνάπλεως. Χριστόν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τό μέγα ἔλεος.

Στ. *Τό στόμα μου λαλήσει σοφίαν καί ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.*

Χαίροις, ὁ ἱερός Συμεών, τοῦ Παρακλήτου τό ὑπέρτιμον σκήνωμα, ὁ τύπος ζωῆς ἀμέμπτου, τῶν ἀρετῶν ὁ λειμών, ταπεινοφροσύνης ἐνδιαίτημα· ὁ νοῦς ὁ ἀνάπλεως, οὐρανίου ἐλλάμψεως, στόμα τό θεῖον, διδαγμάτων τῆς πίστεως, ἐξ οὗ ῥήματα, ζωῆς θείας πηγάζουσι· κλῆμα τό εὐφορώτατον, προβάλλον τοῖς πέρασι, τῆς εὐσεβείας τόν βότρυν, τῇ ἐνεργείᾳ τῆς χάριτος. Χριστόν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τό μέγα ἔλεος.

Στ. *Οἱ Ἱερεῖς Σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καί οἱ Ὅσιοί Σου ἀγαλλιάσονται.*

Χαίροις, ὁ ἱερός Συμεών, Ἱεραρχῶν τό ἱερόν ἐγκαλλώπισμα, ὁ μύστης τῆς θείας δόξης, ὁ πρὀς ἀγάπην Χριστοῦ, τῶν πιστῶν ἐκκαίων τήν διάνοιαν· ὁ λόγων λαμπρότητι, καί σοφαῖς ἀποδείξεσιν, αἱρετιζόντων, διελέγχων τήν ἄνοιαν, καί τῆς πίστεως, ἁρμονίαν τήν ἔνθεον, ἅπασι προστιθέμενος, τήν τάξιν τήν εὔτακτον, τῆς Ἐκκλησίας ῥυθμίζων, καί συντηρῶν ὑποθήκαις σου. Χριστόν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τό μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. δ'.

Ἱεραρχίας τήν στολήν, ἱερῶς ἐνδεδυμένος, θεοπρεπῶς ἱερούργησας, τό Ευαγγέλιον Χριστοῦ, Συμεών Ἱεράρχα ἔνδοξε· τάς μυστικάς γάρ τελετάς, πιστῶς Θεῷ ἀναφέρων, τόν θεῖον εἵλκυσας ἐκεῖθεν φωτισμόν, καί πᾶσι μετέδωκας, ἧς ἐτρύφησας δωρεᾶς, ὁσίαις χερσί· καί νῦν τῆς δόξης τοῦ Χριστοῦ, ὁρῶν τήν λαμπρότητα, ἀμαυρώσεως παθῶν ἀπάλλαξον, τούς ἑορτάζοντας, Πάτερ, τήν μνήμην σου.

Καί νῦν. Τῆς Ἑορτῆς. Ὁ αὐτός.

Ὅνπερ πάλαι Μωϋσῆς, προτυπώσας ἐν ἑαυτῷ,…

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον. Ἦχος α'. Τῆς ἐρήμου πολίτης.

Ποιμήν Θεσσαλονίκης ἀνεδείχθης ἐν Πνεύματι, καί θεῖος ὑποφήτης μυστηρίων τῆς χάριτος, σοφίᾳ καί φωτί τῶν ἀρετῶν, ἐκλάμπων Ἱεράρχα Συμεών· διά

τοῦτο ὥσπερ θεῖον μυσταγωγόν, τιμῶμεν σε κραυγάζοντες· δόξα τῷ σέ δοξάσαντι Χριστῷ, δόξα τῷ σέ στεφανώσαντι, δόξα τῷ χορηγοῦντι διά σοῦ, χάριν ἡμῖν καί ἔλεος.

Καί τῆς Ἑορτῆς.Ἀπόλυσις.

## ΕΝ ΤΩ ΟΡΘΡΩ

Μετά τήν α΄ Στιχολογίαν, Κάθισμα. Ἦχος α΄. Τόν Τάφον Σου, Σωτήρ.

Φωτί τῶν ἀρετῶν, λαπρυνθείς τήν καρδίαν, νεόφωτος φωστήρ, τῇ Χριστοῦ Ἐκκλησίᾳ, ἐδείχθης Πάτερ Ὅσιε, καί πυρσεύεις τοῖς λόγοις σου, τούς γεραίροντας, τήν φωτοφόρον σου μνήμην, καί ὑμνοῦντας σε, ὦ Συμεών Ἱεράρχα, ὡς θεῖον θεράποντα.

Δόξα. Καί νῦν. Τῆς Ἑορτῆς. Ὅμοιον.

Ὑψώθεις ἐν Σταυρῷ, ἑκουσίως Οἰκτίρμον,...

Μετά τήν β΄ Στιχολογίαν, Κάθισμα. Ἦχος δ΄. Ταχύ προκατάλαβε.

Τῷ λόγῳ τῆς χάριτος, ὡς Ἱεράρχης σοφός, ῥυθμίζων ἑκάστοτε, τῶν εὐσεβῶν τάς ψυχάς, πρός βίον ὑπέρτερον, ὤφθης θεολογίας, ἐνδιαίτημα θεῖον, βίου δέ ἐναρέτου, παιδευτής θεοφόρος· διό σε μακαρίζομεν, Συμεών Πατήρ ἡμῶν.

Δόξα. Καί νῦν. Τῆς Ἑορτῆς. Ὅμοιον.

Ὑψοῦντες τόν Τίμιον, καί Ζωηφόρον Σταυρόν,...

Μετά τόν Πολυέλεον, Κάθισμα. Ἦχος πλ. δ΄. Τήν Σοφίαν καί Λόγον.

Μυστηρίων τήν χάριν διασαφῶν, καί τόν πλοῦτον προφαίνων τῶν ἀρετῶν, σοφαῖς ἀναπτύξεσι, Συμεών ἱερώτατε, πρός ἐντολῶν τῶν θείων, ὁδόν τήν σωτήριον, καθοδηγεῖς ἐνθέως, πιστῶν τά συστήματα. Ὅθεν τήν ἁγίαν, ἐκτελοῦντες σου μνήμην, ᾠδαῖς ἀνυμνοῦμεν σε, καί πιστῶς ἐκβοῶμεν σοι, Ἱεράρχα μακάριε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τήν ἁγίαν μνήμην σου.

Δόξα. Καί νῦν. Τῆς Ἑορτῆς. Ὅμοιον.

Κεκρυμμένον τῷ πάλι ὑπό τήν γῆν,...

Οἱ Ἀναβαθμοί· τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον. *Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Στ. *Οἱ Ἱερεῖς Σου, Κύριε, ἐνδύσονται δικαοσύνην καί οἱ Ὅσιοί Σου ἀγαλλιάσονται.*

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην (Κεφ. ι΄ 9 – 16).

Εἶπεν ὁ Κύριος· ἐγώ εἰμι ἡ θύρα· δι᾿ ἐμοῦ ἐάν τις εἰσέλθῃ σωθήσεται καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται

καὶ νομὴν εὑρήσει. Ὁ κλέπτης οὐκ ἔρχεται εἰ μὴ ἵνα κλέψῃ καὶ θύσῃ καὶ ἀπολέσῃ· ἐγὼ ἦλθον ἵνα ζωὴν ἔχωσιν καὶ περισσὸν ἔχωσιν. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός· ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων· ὁ μισθω-τὸς καὶ οὐκ ὢν ποιμήν, οὗ οὐκ ἔστιν τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον καὶ ἀφίησιν τὰ πρόβατα καὶ φεύγει καὶ ὁ λύκος ἁρπάζει αὐτὰ καὶ σκορπίζει τὰ πρόβατα. Ὁ δὲ μισθωτὸς φεύγει, ὅτι μισθωτός ἐστιν καὶ οὐ μέλει αὐτῷ περὶ τῶν προβάτων. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός, καὶ γινώσκω τὰ ἐμὰ καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν· καθὼς γινώσκει με ὁ Πατὴρ, κἀγὼ γινώσκω τὸν Πατέρα· καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων. Καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης· κἀκεῖνα δεῖ με ἀγαγεῖν καὶ τῆς φωνῆς μου ἀκούσουσιν καὶ γενήσονται μία ποίμνη, εἷς ποιμήν.

Ὁ Ν΄ (50) Ψαλμός.

Δόξα. Ταῖς τοῦ Ἱεράρχου...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ. *Ἐλέησόν με, ὁ Θεός,...*

Τῇ ἐναρέτῳ ζωῇ εὐαρεστήσας Κυρίῳ, τῆς Ἐκκλησίας τούς οἴακας, παρά Χριστοῦ ἐδέξω, Συμεών μακάριε, ὡς τοῦ Ἁγίου Πνεύματος ἔμψυχος θησαυρός· ὅθεν τῇ σῇ κυβερνήσει, ἡ ἐν Θεσσαλονίκῃ Ἐκκλησία τοῦ Θεοῦ καυχᾶται, καί πιστῶς βοᾷ σοι·

ἀοράτως προΐστασο, τὴς κληρουχίας σου Πάτερ, ὡς ἄν ἀσφαλῶς πορευώμεθα τήν τρίβον, τήν εἰς ζωήν ὁδηγοῦσαν ἄληκτον.

Οἱ Κανόνες· τῆς Ἑορτῆς καί τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς· *Τήν Συμεών ὑμνήσω χάριν. Γερασίμου.*

ᾨδή α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.

Τοῦ Παρακλήτου τῷ φωτί λαμπόμενος, οἷα θεράπων Θεοῦ, Συμεών παμμάκαρ, Ἱεράρχα Ὅσιε, τόν νοῦν μου φωταγώγησον, φωτοφόροις λιταῖς σου, ὅπως ὑμνήσω τοῦ βίου σου, τά θεοπρεπῆ προτερήματα.

Ἡ καθαρά σου πολιτεία Ὅσιε, ἀπό νεότητος, οἷάπερ θυσία, καθαρά καί ἄμωμος, Κυρίῳ προσενήνεκται· διά τοῦτο ἐδέξω, τοῦ Παρακλήτου τήν ἔλλαμψιν, Πάτερ Συμέων τῇ καρδίᾳ σου.

Νεκρῶσαι Πάτερ τῆς σαρκός τό φρόνημα, κατεπειγόμενος, τόν Σταυρόν Κυρίου, ἦρας ἀγαλλόμενος, καί μοναστής θεόληπτος, Κωνσταντίνου τῇ πόλει, ὡς ἀληθῶς ἀναδέδειξαι, πάντων τῶν φθαρτῶν ἀφιστάμενος.

Θεοτοκίον.

Σεσαρκωμένον ἐξ ἁγνῶν αἱμάτων Σου, τόν πρώην ἄσαρκον, Λόγον ἀπορρήτως, ἐν δυσί ταῖς φύσεσι, μιᾷ τῇ ὑποστάσει δέ, Θεοτόκε τεκοῦσα, ἐκ τῆς φθορᾶς ἠλευθέρωσας, τούς Σέ ὀρθοδόξως δοξάζοντας.

Ὠδή γ΄. Ὁ στερεώσας κατ᾽ ἀρχάς.

Ὑποπιάζων τῆς σαρκός, τάς ἀκαθέκτους ὀρέξεις, ἐγκρατείᾳ καί συντόνῳ δεήσει, ἐνεργείας θεϊκῆς, τήν σήν ψυχήν ἐπλήρωσας, καί ὤφθης ἀπαθείας, Πάτερ δοχεῖον πολύτιμον.

Μυσταγωγός θεοειδής, τῶν τοῦ Θεοῦ μυστηρίων, Συμεών καί λειτουργός θεοφόρος, ἀνεδείχθης ἀληθῶς, καί θεηγόροις λόγοις σου, την ἐν αὐτοῖς πλουσίαν, χάριν προφαίνεις τοῦ Πνεύματος.

Ἐκλελεγμένος ἐκ Θεοῦ, εἰς ὑπουργίαν τήν θείαν, Ἱεράρχης ἐκλεκτός ἀνεδείχθης, καί Ποιμήν ἀληθινός, τῆς Ἐκκλησίας γέγονας, τῶν Θεσσαλονικέων, ὡς Ἀποστόλων ὁμόζηλος.

Θεοτοκίον.

Ὡραϊσμένη κροσσωτοῖς, τῆς ὑπερκάλου ἁγνείας, τόν Ὑπέρθεον ἐκύησας Λόγον, ἐξ αἱμάτων Σου ἁγνῶν, Παρθένε Παναμώμητε, καί μετά τόκον ὤφθης, ὡς πρό τοῦ τόκου πανάφθορος.

Κάθισμα. Ἦχος πλ. α΄. Τόν συνάναρχον Λόγον.

Ἱεράρχης ἐχρίσθης, Ἁγίῳ Πνεύματι, Συμεών θεηγόρε, ὡς καθαρός τήν ψυχήν, καί ἱέρευσας Θεῷ, καθάπερ Ἄγγελος· ὅθεν Ἀγγέλων τοῖς χοροῖς, μετά τέλος ἱερόν, συνήφθης καθικετεύων, ὑπέρ ἡμῶν τῶν τιμώντων, τήν ἱεράν σου μνήμην Ὅσιε.

Τῆς Ἑορτῆς. Ὅμοιον.

Τοῦ Σταυροῦ τῇ ὑψώσει ὕμνον μεθέορτον, προσκομίσωμεν πάντες ἐν διανοίᾳ θερμῇ, ὡς ἄν λάβωμεν παθῶν ταχεῖαν ἴασιν· ὁ γάρ ἐν τούτῳ προσπαγείς, πολυέλεος Σωτήρ, παρέχει τοῖς προσκυνοῦσι, τό ζωοδώρητον Ξύλον, ψυχῆς καί σώματος ἰάματα.

Ὠδή δ΄. Σύ μου ἰσχύς.

Νόμων Θεοῦ, καί ἱερῶν διατάξεων, ἀναπτύσσων, Πάτερ τήν ἀντίδοσιν, καί ἀμοιβάς τάς ὑπερφυεῖς, ἅπαντας προτρέπεις, πρός ἀρετῶν τελειότητα, κραυγάζων τῷ Σωτῆρι, Συμεών Ἱεράρχα· τῇ δυνάμει Σου δόξα Φιλάνθρωπε.

Ἀνευφημῶν, ἐν ἱεροῖς Πάτερ ᾄσμασι, Δημητρίου, τοῦ ἁγίου Μάρτυρος, τάς ἀρετάς καί τήν προχοήν, τοῦ εὐόσμου μύρου, εὐωδιάζεις τοῖς λόγοις σου, ἡμῶν τάς διανοίας, καί παθῶν τό δυσῶδες, Συμεών ἀπελαύνεις ἑκάστοτε.

Νοῦν καθαρόν, δι᾽ ἐγκρατείας κτησάμενος, ὑπεισέδυς, γνόφον τόν ἀόρατον, καί συγκραθείς ὡς ἦν δυνατόν, τῷ Θεῷ τῶν ὅλων, ἐν μυστηρίῳ μακάριε, θεώσεως τόν πλοῦτον, Συμεών ἐκομίσω, ἀποῤῥίψας σαρκός τήν παχύτητα.

Θεοτοκίον.

Ὕδωρ ζωῆς, οἷα νεφέλη θεόδροσος, ὄμβρησόν μοι, τηκομένῳ Ἄχραντε, τῆς ἁμαρτίας τῷ πυρετῷ, καί δακρύων ῥείθροις, τήν ῥυπωθεῖσαν καρδίαν μου, ἀπόπλυνον Παρθένε, καί ζωῆς με τῆς ἄνω, κοινωνόν μετά τέλος ἀνάδειξον.

Ὠδή ε΄. Ἵνα τι με ἀπώσω.

Μυστηρίων ἁγίων, καί τῶν ἱερῶν τελετῶν τήν διάταξιν, Πνεύματι Ἁγίῳ, καί τήν σύστασιν καί τήν λαμπρότητα, πᾶσι σαφηνίζων, τήν αὐτοῖς πλουσίαν χάριν, Συμεών διεκφαίνεις τῷ λόγῳ σου.

Νεκρωθείς τοῖς ἐν κόσμῳ, τῇ καθαρωτάτῃ ζωῇ σου μακάριε, ζωηφόρον χάριν, οὐρανόθεν ἐδέξω θεόληπτε, καί πρός ἐναρέτου, ζωῆς τάς τρίβους κατευθύνσεις, Συμέων την απόλευκτον ποίμνην σου.

Ἡ ἁγία σου γλῶσσα, οἷα γλυκασμόν σωτήριον βλύσασα, θείας ὑποθήκας, καί ζωῆς μακαρίας διδάγματα, Συμεών ἐξαίρεις, παθῶς πικρίαν ψυχοφθόρων, καί εὐφραίνεις ἡμῶν τήν διάνοιαν.

Θεοτόκιον.

Σαρκωθέντα ἀτρέπτως, ἐκ τῶν παναγίων αἱμάτων Σου Δέσποινα, τόν τῶν ὅλων Κτίστην, ὑπέρ νοῦν καί διάνοιαν τέτοκας· ὅθεν Σου τόν Τόκον, τόν ἀκατάληπτον ὑμνοῦμεν, Θεοτόκον ἁγνήν Σε κηρρύτοντες.

Ὠιδή στ΄. Τήν δέησιν ἐκχεῶ.

Ὡς θεῖος, μυσταγωγός Ἱεράρχα, ἀρετῶν μυσταγωγεῖς τάς ἐλλάμψεις, καί ὀρθοδόξων δογμάτων τήν χάριν, ταῖς ἐναρέτοις κοσμούμενος πράξεσι, καί διελέγχεις Συμεών, πᾶν ὀθνεῖον καί ἔκφυλον φρόνημα.

Χορεύει, Θεσσαλονίκη ἡ πόλις, τῇ σοφῇ σου ποιμανσίᾳ παμμάκαρ, καί σύν αὐτῇ ἡ Χριστοῦ Ἐκκλησία, σύμπασα θείοις γεραίρει σε ᾄσμασιν, οἷα διδάσκαλον σοφόν, Συμεών καί τῶν θείων ἐκφάντορα.

Ἀμέμπτως, ἱερουργήσας Κυρίῳ, ὡς θυσίαν λογικήν τόν σόν βίον, καί τούς λαμπρούς σου καί θείους ἀγῶνας, ἐν ταπεινώσει πολλῇ προσενήνοχας, τῷ Βασιλεῖ τῶν οὐρανῶν, Συμεών Ἱεράρχα μακάριε.

Θεοτοκίον.

Ῥανίσι, τῶν οἰκτιρμῶν Σου Παρθένε, τηκομένων τῶν παθῶν τῇ φλογώσει, τήν τῆς ψυχῆς μου κατάρδευσον χώραν, καί τοῦ νοός μου τό σκότος διάλυσον, τῆς χάριτός Σου τῷ φωτί, ἵνα πίστει καί πόθῳ δοξάζω Σε.

Κοντάκιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Μυστογράφος ἄριστος τῆς Ἐκκλησίας, ἐν Ἁγίῳ Πνεύματι, ὤφθης παμμάκαρ Συμεών· τῶν μυστηρίων τήν χάριν γάρ, τήν κεκρυμμένην ἐκφαίνεις τῷ λόγῳ σου.

Ὁ Οἶκος.

Ὁλικῶς τῷ Θεῷ ἀνακείμενος, τῆς Αὐτοῦ εὐσπλαγχνίας τήν ἄβυσσον, ὡς καθαγνίσας τήν ψυχήν, ἐκ τῶν παθῶν τῆς μετοχῆς, μεμύησαι θεόφρον· καί καθαρωτάτῃ πολιτείᾳ εὐδοκιμήσας, Ἀρχιερεύς ἄξιος τῆς Ἐκκλησίας τοῦ Χριστοῦ, τῇ ἄνωθεν προμηθείᾳ γέγονας· ἀποστολικαῖς γάρ ἀρεταῖς διαπρέπων, καί ταπεινώσεως ὑψούμενος τρόποις, ὁσίως καί σοφῶς ἐποίμανας τήν ἐν Θεσσαλονίκῃ ἁγίαν Ἐκκλησίαν, λόγῳ θείῳ τρέφων τάς ψυχάς τῶν πιστῶν, καί σοφίᾳ θεϊκῇ καταρτίζων αὐτάς, πρός θείαν εὐαρέστησιν, Συμεών Ἱεράρχα· ἔνθεν μυστηρίων τήν χάριν τήν κεκρυμμένην ἐκφαίνεις τῷ λόγῳ σου.

Συναξάριον.

Τῇ ΙΕ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ἁγίου Συμεών Ἀρχιεπισκόπου Θεσσαλονίκης.

Στίχοι·

*Εὐαγγελικῶς Συμεών διαπρέψας,*

*Μισθόν λαμβάνεις παρά Θεοῦ ἀξίως.*

*Τῇ πεντεκαιδεκάτῃ θεῖος Συμεών γῆθεν ἀέρθη.*

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδή ζ'. Παῖδες Ἑβραίων.

Ἴθυνας λόγων βακτηρίᾳ, Πάτερ Ὅσιε, πρός χλόην σωτηρίας, καί πρός ὕδωρ, τούς λογικούς σου ἄρνας, ὦ Συμεών μακάριε, ὡς θεόφρον Ποιμενάρχης.

Νόμου τοῦ θείου ἀναπτύσσων, τά διάγματα ἐν θεηγόρῳ γλώσσῃ, Συμεών ἱερέ, ψυχῶν καθαίρεις ῥύπους, καί ἀνομίαν ἅπασαν, κενολόγων διελέγχεις.

Γνώσει τῇ θείᾳ διαλάμπων, καί ὡς Ἄγγελος ἱερουργῶν Κυρίῳ, Συμεών ἱερέ, Θεσσαλονίκης κλέος, φωστήρ ὤφθης πολύφωτος, τοῦ Χριστοῦ Ἐκκλησίας.

Θεοτοκίον.

Ἔργοις τοῦ σκότους ἐδουλώθην, καί ἠμαύρωσα ψυχῆς μου τό ὡραῖον· ἀλλ' ὦ Μῆτερ Θεοῦ, Παρθένε Θεοτόκε, τῆς συνεχούσης ῥῦσαι με, δυναστείας τοῦ Βελίαρ.

Ὠδή η'. Οἱ θεοῤῥήμονες Παῖδες.

Ῥήμασι θείοις ῥυθμίζων καί κατευθύνων, πρός εὐαρέστησιν θείαν, τῶν Ὀρθοδόξων τό πλήρωμα, τῶν αἱρέσεων πᾶσαν, ἐκλύεις ἐπηρείαν.

Ἀπό Θεοῦ δεδεγμένος τήν θείαν χάριν, ὑφηγητής εὐσεβείας, καί θεηγόρος διδάσκαλος, τῆς Ἐκκλησίας ὤφθης, Συμεών μακάριε.

Στόμα τό θεῖον ἀνοίγων Ἀρχιεράρχα, πᾶσι ζωῆς ἐναρέτου, πηγάζεις θεῖα διδάγματα, Συμεών καί δογμάτων, ὀρθῶν τήν ἀκρίβειαν.

Θεοτοκίον.

Ἰλύος ῥῦσαι παθῶν με τῶν ἀκαθάρτων, καί ἀπαθείας τῷ φέγγει, καταύγασόν με Πανάχραντε, ἀπελεύνουσα πόρρῳ, ἐχθροῦ πᾶσαν μεθοδείαν.

Ὠδή θ΄. Ὄρους παρῆλθες.

Μύστης τῆς θείας χρηστότητος, καί Ἱεραρχῶν λαμπρά ὑποτύπωσις, ἐδείχθης τῷ σῷ βίῳ Συμεών Ὅσιε· διό τῆς ἀφθαρσίας, χαίρων ἐδέξω τόν στέφανον.

Ὁ τῶν πιστῶν θεῖος πρόβολος, καί Θεσσαλονίκης Ποιμήν ἐνθεώτατος, ὁ Συμεών ὑμνείσθω θείοις ἐν ᾄσμασιν, ὡς πρέσβυς ἡμῶν μέγας, πρός τόν φιλάνθρωπον Θεόν ἡμῶν.

Ὑπέρ ἡμῶν ἀεί πρέσβευε, Πάτερ Συμεών τῶν πίστων τιμώντων σε, καί συμπαθῶς τόν ὕμνον μου δέξαι Ἅγιε, καί νέκρωσον παθῶν μου, τήν ἐπανάστασιν πρεσβείαις σου.

Θεοτοκίον.

Ὕλης παθῶν τήν καρδίαν μου, κένωσον Ἁγνή τῇ Σῇ ἀγαθότητι, καί πλήρωσον τόν νοῦν μου φωτός τῆς χάριτος, ἵνα Σε Θεοτόκε, δοξολογῶ τήν σωτηρίαν μου.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Ἱεραρχῶν ἀγλάϊσμα, Θεσσαλονίκης καύχημα, καί ὀρθοδόξων δογμάτων, ὄργανον θεῖον ἐδείχθης, ὡς Ἱεράρχης ὅσιος, ὦ Συμεών Πατήρ ἡμῶν· διό πιστῶς τιμῶμεν σε, καί τήν ἁγίαν σου μνήμην, γεραίρομεν κατά χρέος.

Καί τῆς Ἑορτῆς. Ὅμοιον.

Ὑψώθης Παντοδύναμε, ἐπί Σταυροῦ θελήματι,...

Εἰς τούς Αἴνους ἱστῶμεν στίχους δ΄ καί ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος!

Πάτερ Συμεών μακάριε, ἀνακαθάρας τόν νοῦν, τῶν παθῶν τῆς συγχύσεως, τοῦ Ἁγίου Πνεύματος, οἰκητήριον γέγονας, καί δεδεγμένος στολήν τήν ἔνθεον, ταύτην λαμπρύνεις φωτί τῶν ἔργων σου· ὅθεν ὑμνοῦμεν σε, ὡς Θεοῦ θεράποντα καί τήν σεπτήν, καί ἁγίαν μνήμην σου, πανηγυρίζομεν.

Πάτερ Συμεών θεόληπτε, ἄνθρακι θείου πυρός, καθαρθείς τήν διάνοιαν, καί φωτί τῆς χαριτός, μυστικῶς λαμπρυνόμενος, λόγον ἠρεύξω βίου λαμπρότητος, καί ὀρθοδόξων δογμάτων ῥήματα, πάντας παιδεύοντα, πρό γνῶσιν σωτήριον καί ἀρετῶν, καί ἠθῶν σεμνότητος, τήν κτῆσιν Ἅγιε.

Πάτερ Συμεών θεόσοφε, τῇ ἱερᾷ σου ζωῇ, καί σοφίᾳ τῇ ἄνωθεν, Ἱεράρχης ὅσιος, ἀληθῶς

ἀναδέδειξαι· Θεσσαλονίκης ἐντεῦθεν Πρόεδρος, καί Ἐκκλησίας πάσης διδάσκαλος, ὤφθης ἐν Πνεύματι, τῷ Ἁγίῳ ἔνδοξε φωταγωγῶν, ταῖς διδασκαλίαις σου, τούς προσιόντας σοι.

Πάτερ Συμεών μακάριε, ἐν ταπεινώσει πολλῇ, διανύων τόν βίον σου, πρός θείαν ἀνύψωσιν, ἀρετῶν τελειότητος, πάντας παιδεύεις τῷ ὑποδείγματι, τῆς μακαρίας ζωῆς σου Ἅγιε· ὅθεν ὑμνοῦμεν σε, ὡς Ποιμένα ἔνθεον καί ἱερόν, τύπον καί παράδειγμα, ἐπί τά κρείττονα.

Δόξα. Ἦχος πλ. δ΄.

Τῷ φωτί τῶν ἀρετῶν, τήν τοῦ Πνεύματος ἐδέξω ἔλλαμψιν, οὐρανόθεν φοιτήσασαν, τῇ καθαρᾷ σου καρδιᾳ Ὅσιε· ὡς Ἀποστόλων γάρ μιμητής, τήν ψυχήν προθύμως τέθεικας ὑπέρ τῆς Ἐκκλησίας, Συμεών Ἱεράρχα μακάριε, καλῶς ἀγωνισάμενος· καί νῦν τοῖς ἄνω Λειτουργοῖς, καί τοῦ ξύλου τῆς ζωῆς ἀπολαύων, πρέσβευε δεόμεθα, ὑπέρ τῶν τιμώντων σε.

Καί νῦν. Τῆς Ἑορτῆς. Ὁ αὐτός.

Ἡ φωνή τοῦ Προφήτου Σου Μωϋσέως ὁ Θεός,...

Δοξολογία Μεγάλη καί Ἀπόλυσις.

Μεγαλυνάριον.

Χαίροις Ἐκκλησίας θεῖος φωστήρ, καί Θεσσαλονίκης, Ποιμενάρχης θεοειδής· χαῖρε θεῖον

σκεῦος, τῆς ταπεινοφροσύνης, Ἀρχιερέων κλέος, Συμεὼν Ὅσιε.

Δίστιχον.

*Συμεὼν ἀνύμνησε τήν πολιτείαν,*

*Γεράσιμος ᾄσμασι καί θείοις ὕμνοις.*

